σοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, καὶ σώσω τὴν ἐκπεπιε-
σμένην καὶ τὴν ἀπωσμένην· εἰσδέξομαι καὶ θήσομαι αὐτοὺς εἰς
20 καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. 20 καὶ καταισχυνθήσονται
ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ,
ὅταν εἰσδέξωμαι ὑμᾶς· διότι δώσω ὑμᾶς ὀνομαστοὺς καὶ εἰς καύ-
χημα ἐν πᾶσιν τοῖς λαοῖς τῆς γῆς ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχ-
μαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει κύριος.

19 και θησομαι > BS*† || 20 εισδεχωμαι AQ
Subscr. σοφονιας θ′ BSA: cf. inscr.

## ΑΓΓΑΙΟΣ

1 1 Ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐν τῷ μηνὶ
τῷ ἕκτῳ μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου ἐν χειρὶ Αγγαιου
τοῦ προφήτου λέγων Εἰπὸν δὴ πρὸς Ζοροβαβελ τὸν τοῦ Σαλαθιηλ
ἐκ φυλῆς Ιουδα καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ιωσεδεκ τὸν ἱερέα τὸν
2 μέγαν λέγων 2 Τάδε λέγει κύριος παντοκράτωρ λέγων Ὁ λαὸς οὗτος
λέγουσιν Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου.
3 3 καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Αγγαιου τοῦ προφήτου λέγων
4 4 Εἰ καιρὸς ὑμῖν μέν ἐστιν τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθ-
5 μοις, ὁ δὲ οἶκος οὗτος ἐξηρήμωται; 5 καὶ νῦν τάδε λέγει κύριος
παντοκράτωρ Τάξατε δὴ τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν·
6 6 ἐσπείρατε πολλὰ καὶ εἰσηνέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλη-
σμονήν, ἐπίετε καὶ οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε
ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τε-
7 τρυπημένον. 7 τάδε λέγει κύριος παντοκράτωρ Θέσθε τὰς καρδίας
8 ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· 8 ἀνάβητε ἐπὶ τὸ ὄρος καὶ κόψατε ξύλα
καὶ οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθή-
9 σομαι, εἶπεν κύριος. 9 ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένετο ὀλίγα·
καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. διὰ τοῦτο τάδε
λέγει κύριος παντοκράτωρ Ἀνθ᾽ ὧν ὁ οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς
10 δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, 10 διὰ τοῦτο ἀνέξει ὁ οὐ-
11 ρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς· 11 καὶ
ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ ὄρη καὶ ἐπὶ τὸν σῖτον

Agg.: BSA. — de QW*LC* cf. Os.
Inscr. αγγαιος ι′ BSA: cf. Os. inscr.
1 1 δη AQW] > BS*LC*: cf. 5 2 11. 15. 18 | εκ φυλης] pr. τον A: cf. 12 || 2 λεγων > $S^c$ || 4 υμιν μεν SAW] tr. BQ*LC* | υμων > AQ$S^c$ | ουτος] υμων B†, pr. μου *C*, pr. σου $W^c$† || 5 δη > $S^c$*LC*: cf. 1 || 6 init.] pr. διοτι ταδε λεγει κυριος παντοκρατωρ A† | συναγων] -αγαγων S† || 7 τας ult. > S*† || 8 επι] εις BS* | το > S*† | κοψετε S*W† || 9 εγενετο] -νοντο A